FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Tu Makariu Theodōritu Episkopu Kyru Hermēneia Eis Tus Psalmus

### Theodoretus <Cyrrhensis>

### En Chalē tē Magdeburgikē, Et. 1768.

### VD18 13072730

Vorwort

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-212535

Visual Library





ΤΩι ΕΥΣΕΒΕΣΤΑΤΩι
ΚΑΙ ΥΨΗΛΟΤΑΤΩι ΑΥΘΕΝΤΗι
ΚΥΡΙΩι ΜΟΙ ΚΥΡΙΩι

# ΣΤΕΦΑΝΩι ΜΙΧΑΗΛ
# ΡΑΚΟΒΙΤΖΑι ΒΟΕΒΟΔΑι

ΤΩι ΠΡΩΗΝ ΗΓΕΜΟΝΙ
ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

Ἓν τόδε τῶν σωζομένων τȣ͂ Θεσπεσίȣ Θεοδωρίτȣ πολλῶντε καὶ καλῶν Συγγραμμάτων τὸ ἄριςον, ὥς ἐγ᾽ ᾦμαι, καὶ μακρῷ πολυωφελέςατον ἐπιλέξας ἐν μέρει, καὶ παρὰ τῶν ἀρτίως τυπογραφεῖν ἐκ νέȣ αὐτὰ ἐπιβαλομένων, (ὡς εὐω-

τε δὴ, καὶ τοῖς μετιέναι βουλομένοις εὐπόριστον ἅμα καὶ εὐμεταχείριστον εἴη) καθ᾽ ἑαυτὸ χωρὶς τῶν ἄλλων ἐκδοθῆναι ἀξιώσας, καὶ οὐκ ἀποτυχὼν τῆς αἰτήσεως, δῶρον ἥκω ΣΟΙ προσάγων τοῦτο ΗΓΕΜΩΝ ΥΨΗΛΟΤΑΤΕ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΕ, οὐκ ἀπόβλητον οὐδ᾽ ἄχαρι, εὖ οἶδα, ἐσόμενον. Ἔστι δὲ τὸ εἰς τὸν Ψαλτῆρα ἐκπονηθὲν τῷ Μακαρίῳ Ἀνδρὶ Ὑπόμνημα, καὶ ἡ τοῦ ἐκεῖ Πνεύματος καθαρώτερον ἀναπτυσσομένη Μυσταγωγία. Ταυτὸν εἰπεῖν, ἡ παναρμόνιος τοῦ Προφητάνακτος κιθάρα τρανώτερόν τε ὑπὸ τοῦ Θεοδωρίτου ἀνακρουομένη, καὶ εὐηχέστερον οὕτως ἐκπέμπουσα τὸ μελῴδημα, ὡς ἄρα τὴν περικεχυμένην ἀχλὺν περιαιρεθεῖσα τῆς ἀσαφείας τῶν ὕμνων, δι᾽ ὧν ἡ Ἐκκλησία πᾶσα, ἐν ἑσπέρᾳ, καὶ πρωῒ, καὶ μεσημβρίᾳ τὸν τῶν ὅλων Θεὸν διὰ παντὸς γεραίρει καὶ ἐξιλάσκεται. Ἄλλοις μὲν οὖν ἄλλα ἡδέα γένοιτ᾽ ἂν, καὶ θυμήρη, καὶ τίμια προσφερόμενα, ψυχῇ δὲ μάλιστα Δαυιτικὰ φρονούσῃ, καὶ τοῦ θρόνου ὑψηλότερον πολὺ τιθεμένῃ τὸ πρὸ τοῦ Θεοῦ ἔδαφος, τό, τε ἐν οἴκῳ Κυρίου παραῤῥιπτεῖσθαι, τοῦ ἐν τοῖς σκηνώμασι τῶν ἁμαρτωλῶν αὐλιζομένην ἐν ἀνθρώποις μεγαλύνεσθαι, ἀσυγκρίτως μακαριστότερον ἡγουμένῃ, οἵᾳ τῇ Σῇ Γαληνότατε Αὐθέντα, οὐδὲν ἂν γένοιτο τῆς ψαλμικῆς ᾠδῆς ἥδιον οὐδὲ τερπνότερον ἄκουσμα, οὐδὲν κάλλιον οὐδὲ ποθεινότερον ἐντρύφημα. Οὐκοῦν, οὐδὲ δῶρον ἄλλο, ὅ, τις ἂν ΣΟΙ καὶ προσενέγκοι τῷ ψυχὴν καὶ γνώμην οὕτω διακειμένῳ τοῦ παρόντος Τεύχους δόξειεν ἂν τιμιώτερον· οὐδ᾽ εἴτις καὶ τῶν περιᾳδομένων παρ᾽ ἀνθρώποις Μουσῶν ἀπανθίσαι τὰ κάλλιστα, καὶ λόγων τῶν γηγενῶν τούτων καταμαστεῦσαι τοὺς ἐν δόξῃ παρὰ πάντων ἀγομένους καὶ θαύματι. Λῆρος γὰρ ἐπιεικῶς καὶ κενή τις ἐστὶ φλυαρία πᾶσα ἀνθρωπίνη παίδευσις ἄλλη, ἡ ἐκ γῆς τε προϊοῦσα

καὶ

καὶ ἐπὶ γῆν ἕρπουσα, πρὸς τὸ ὕψος παραβαλλομένη τῆς ἄνωθεν ἀποῤῥεούσης Σοφίας καὶ γνώσεως. „ Καί γάρτοι „ διηγήσαντο μὲν ἐμοὶ παράνομοι ἀδολεχίας πολλὰς καὶ „ ποικίλας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου Κύριε. Εἰ γὰρ κἂν τοῖς κάτω τούτοις καὶ ἀνθρωπίνοις τῶν παιδευμάτων, διαφαίνεταίποτε μεταξύτις καὶ ἀληθείας ἀκτὶς, βραχεῖα ὡς φᾶναι αὐτὴ τοῦ ἀϊδίου φωτὸς ἀποῤῥὼξ, διὰ τοῦ κατὰ φύσιν λόγου, ὃν ψυχαῖς ἀνθρώπων ἐνέσπειρεν ὁ Θεὸς διανίσχουσα, οὐμὴν ἀλλὰ καὶ ταύτης ὡς ἡμᾶς διϊκνεῖται τὸ σέλας οὐκ ἀκραιφνὲς, πυκνοῦτινος καὶ παχέος οἷον νέφους αὐτὴν περιϊσαμένου καὶ ἀντιφράττοντος· καὶ τῇ βώλῳ ἀτεχνῶς προσέοικε τῇ χρυσίτιδι, ἐν ᾗ ἀπλέτῳ τῷ χοῒ συμπέφυρται τὸ ψηγμάτιον. „ Μόνα δὲ τὰ λόγια τοῦ Κυ-
„ ρίου, λόγια ἐςὶν ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον
„ τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως, μηδὲν τῆς κάτωθεν ἰλύος, μηδετι τῆς γεηρᾶς ὅλως ῥυπαρίας ἐπισυρόμενον. Ὡς οὖν οὕτω περὶ τούτων φρονοῦσαν τὴν ΣΗΝ εἰδὼς μεγαλόνοιαν, καὶ μικρὰ μὲν ἀεὶ ἡγουμένην πάντα τὰ ἐκ γῆς καὶ ἀνθρώπινα· (Μικρὰ γὰρ ΣΟΙ τούτων, καὶ οἷς οἱ πλεῖςοι ὡς δὴ μεγίςοις ἐπικεχηνότες ἐπτόηνται. Γένος ἄνωθεν Ἡγεμονικὸν, καὶ Προγόνων κλέος εὐρὺ, καὶ Ἀξιωμάτων μέγεθος, καὶ Ἐθνῶν δυναςεῖαι, καὶ ἡ λοιπὴ ὅση τούτοις παρακολουθεῖν οἶδε περιουσία καὶ εὔροια·) μόνα δὲ περὶ παντὸς ποιουμένην, τὰ τὸν ἔσω κοσμοῦντα ἄνθρωπον, καὶ τὸν πλοῦτον αὐτῷ τὸν ἀεὶ ἔσωτα καὶ ἄσυλον προμνηςεύοντα, κατὰ λόγον καὶ αὐτὸς ἔοικα βεβουλεῦσθαι, εἰ οὐκ ἐκ τῶν ἔξωτε καὶ θυραίων παιδευμάτων τινὸς, ἐκ δὲ τῶν ἔσω καὶ παρὰ ΣΟΙ τιμωμένων προηνέχθην τόδε, μου ποιήσασθαι τὸ ἀνάθημα. Ὅλως γὰρ Θεῖον εἶναι δεῖν αὐτὸ ἡγησάμην, καὶ ἀνθρωπίνης ἁπάσης χαμαιζηλίας ἀνώτερον,

ὡς ἂν καὶ προσῆκον εἴη Ἀνδρὶ Τοιούτῳ, οἵῳ προσανατεθείσεσθαι ἔμελλεν· Ἡγεμόνι δηλαδὴ εὐσεβεῖ τὰ πάντα, καὶ Φιλοθέῳ, καὶ ὡς μὲν ἐλάχιστα τὸ εὐθηνεῖσθαι καὶ εὐροεῖν ἐκ τῶν ἀνθρωπίνων, ὡς δὲ μάλιστα τὸ ἐκ τῶν θείων καὶ εἰς Θεὸν πλουτεῖν διὰ σπουδῆς ἔχοντι. Τοῦτο γέτοι καὶ τὸ εἰς τόδε με προαγαγὸν ἐστὶ τὴν ἀνάθεσιν ἀναβαλέσθαι ταύτην, ἧς ἐκ πολλοῦ τοῦ χρόνου ὀφειλέτην ἐμαυτὸν οἶδα Ἡγεμὼν Μεγαλοπρεπέστατε. Οὐ γὰρ ὡς τῶν ΣΩΝ εὐποιϊῶν ἀμνημονήσας ἐγὼ, οὐδ᾽ ἐν δευτέρῳ που τῆς ἐμῆς φρενὸς ἐκείνας τάξας, ἐπὶ μακρὸν οὕτως ὑπερεθέμην τὰ τῆς ὀφειλῆς· (τὸ μὲν γὰρ ἄγνωμον ἔμοιγε εἴη, τὸ δὲ καὶ ἠλίθιον·) ἀλλ᾽ εὐκαιρίας δράξασθαι σκοπῶν, καθ᾽ ἥντι προσενεγκεῖν μοι γένοιτο τοιοῦτον, οἷον δὴ κἀμὲ μὲν ἔξω στήσειν ἀγνωμοσύνης αἰτίας, καὶ ΣΕ δὲ μάλιστα εὐφρανεῖν ἂν προσαγόμενον. Νῦν οὖν ἐπεὶ τὸν Βωμὸν, ὡς ὁ λόγος, κατειληφέναιμοι δοκῶ πρὸς τὸ Τέμενος, εὐθύμως μάλα τὸν τοῦ Θεοδωρίτου Δαυίδ, Σοὶ τῷ τοῦ Δαυὶδ ζηλωτῇ προσάγων παρίσταμαι δῶρον, ὡς ἐμαυτὸν πείθω, πρὸ παντὸς καταθύμιον· ὅπερ ἀποδεξάμενος Ὑψηλότατε καὶ Εὐσεβέστατε Αὐθέντα, κἀμὲ ἐντεῦθεν, ὧν ἀφθόνως εὐεργετημάτων παρὰ τῆς ἐν ΣΟΙ μεγαλοπρεπείας μετέσχον, ἀνεξάλειπτον τὴν μνήμην φέροντα γνοὺς, μηδὲ ἔξω τῆς ΣΗΣ ἀνάξιον θείας Ἡγεμονικῆς Εὐνοίας τε καὶ Προστασίας, ἧς οὐδὲν εἰς σέμνωμα ἐμοὶ τιμιώτερον.

ΤΗΣ ὙΜΕΤΕΡΑΣ ΕΥΣΕΒΕΣΤΑΤΗΣ
ὙΨΗΛΟΤΗΤΟΣ

Ἐν Χάλῃ 1768.
Ἰουλίου . . .

ὑποκλινέστατος ἐλάχιστος δοῦλος
ΕΥΓΕΝΙΟΣ ἹΕΡΟΔΙ. Ὁ ΒΟΥΛΓΑΡΙΣ.

Franckesche Stiftungen zu Halle